Iamblichus, *Protrepticus* VIII
text and *apparatus criticus* ed. DSH and MRJ 2015i10

η΄

ὑπομνήσεις ἀπὸ τῶν κοινῶν ἐννοιῶν παραμυθού–
μεναι τὸ πρώτως ὀρεκτὸν καὶ δι᾽ ἑαυτὸ αἱρετὸν φιλο–
σοφίας, ἐναργῶς τε προάγουσαι εἰς τὴν προτροπὴν ἀπὸ
τῶν γνωρίμων τοῖς πᾶσιν

--- **[4.5-8]**

4.6 πρῶτον folio 58[b] || 4.6 [ε]αὐτὸ folio 47[a] || 4.8 πᾶσι[ν] folio 58[b]

οὐ χεῖρον δ᾽ ἔτι καὶ ἀπὸ τῶν κοινῶν ἐν– 45.4
νοιῶν ὑπομνῆσαι τὸ προκείμενον, ἀπὸ τῶν ἐναργῶς
πᾶσι φαινομένων. παντὶ δὴ οὖν τοῦτό γε πρόδηλον, ὡς 45.6
οὐδεὶς ἂν ἕλοιτο ζῆν ἔχων τὴν μεγίστην ἀπ᾽ ἀνθρώπων **ἐπ᾽**
οὐσίαν καὶ δύναμιν, ἐξεστηκὼς μέντοι τοῦ φρονεῖν καὶ 45.8
μαινόμενος, οὐδ᾽ εἰ μέλλοι τὰς νεανικωτάτας ἡδονὰς
ζώειν χαίρων, ὥσπερ ἔνιοι τῶν παραφρονούντων δι– 45.10
άγουσιν. οὐκοῦν ἀφροσύνην, ὡς ἔοικε, μάλιστα πάντες
φεύγουσιν. ἐναντίον δὲ φρόνησις ἀφροσύνῃ, τῶν δ᾽ 45.12
ἐναντίων ἑκάτερον τὸ μὲν φευκτόν ἐστι τὸ δὲ αἱρετόν.
ὥσπερ οὖν τὸ κάμνειν φευκτόν, οὕτως αἱρετὸν ἡμῖν τὸ 45.14
ὑγιαίνειν.

--- **[45.4-15]**

**45.4-5** [ἀπο των κοινων ἐννοιῶν] Düring || **5** προκείμενον <καὶ> ἀπο Arcerius || **6** [οὖν] Jaeger || **7** [μεγίστην ἀπ᾽] ἀνθρώπων Düring; μεγίστην ἐπ᾽ ἀνθρώπων DSH+MRJ; μεγίστην κατ᾽ ἄνθρωπον Vitelli ➔ || **10** ζώειν] διώκειν Diels; διάγειν Vitelli, de Strycker; ζωῆς διατελεῖν Bignone; ζωὴν ἔχειν Gigon ➔

φρόνησις οὖν, ὡς ἔοικε, καὶ κατὰ τοῦτον 45.15
τὸν λόγον φαίνεται τὸ πάντων αἱρετώτατον οὐ δι᾽
ἕτερόν τι τῶν συμβαινόντων, ὡς μαρτυροῦσιν αἱ 45.17
κοιναὶ ἔννοιαι. εἰ γὰρ καὶ πάντα τις ἔχοι, διεφθαρ–
μένος δὲ εἴη καὶ νοσῶν τῷ φρονοῦντι, οὐχ αἱρετὸς ὁ
βίος· οὐδὲν γὰρ ὄφελος οὐδὲ τῶν ἄλλων ἀγαθῶν. 45.20
ὥστε πάντες καθόσον αἰσθάνονται τοῦ φρονεῖν καὶ
γεύεσθαι δύνανται τούτου τοῦ πράγματος, οὐδὲν 45.22
οἴονται τἆλλα εἶναι, καὶ διὰ ταύτην τὴν αἰτίαν οὔτ᾽
ἂν μεθύων οὔτε παιδίον οὐδ᾽ ἂν εἷς ἡμῶν ὑπομείνειεν 45.24
εἶναι διὰ τέλους τὸν βίον.

--- **[45.15-25]**

**45.16-17** οὐ δι᾽ ἕτερον] οὐδ᾽ ἕτερον L || **17** συμβαινόντων <ἀλλὰ δι᾽ ἑαυτήν> ὡς Gigon || **21** αἰσθάνονται] θιγγάνονται Düring; ἅπτονται Düring ➔ || **21** [τοῦ φρονεῖν] Pistelli ➔ || **25** [τὸν βίον] Scaliger ➔

διὰ δὴ τοῦτο καὶ τὸ καθ– 45.25
εύδειν ἥδιστον μὲν οὐχ αἱρετὸν δέ, κἂν ὑποθώμεθα 46.1
πάσας τῷ καθεύδοντι παρούσας τὰς ἡδονάς, διότι τὰ
μὲν καθ᾽ ὕπνον φαντάσματα ψευδῆ, τὰ δ᾽ ἐγρηγορόσιν 46.3
ἀληθῆ. διαφέρει γὰρ οὐδενὶ τῶν ἄλλων τὸ καθεύδειν

καὶ τὸ ἐγρηγορέναι πλὴν τῷ τὴν ψυχὴν τότε μὲν πολ– 46.5
λάκις ἀληθεύειν, καθεύδοντος δὲ ἀεὶ διεψεῦσθαι· τὸ
γὰρ τῶν ἐνυπνίων εἴδωλόν ἐστι καὶ ψεῦδος ἅπαν. 46.7

**------------------------------------------------------------------------------------[45.25-46.7]**

καὶ τὸ φεύγειν δὲ τὸν θάνατον τοὺς πολλοὺς 46.8
δείκνυσι τὴν φιλομάθειαν τῆς ψυχῆς. φεύγει γὰρ ἃ
μὴ γιγνώσκει, τὸ σκοτῶδες καὶ τὸ μὴ δῆλον, φύσει 46.10
δὲ διώκει τὸ φανερὸν καὶ τὸ γνωστόν. διὸ καὶ μάλιστα
τοὺς αἰτίους ἡμῖν τοῦ τὸν ἥλιον ἰδεῖν καὶ τὸ φῶς,
αὐτούς φαμεν δεῖν τιμᾶν ὑπερβαλλόντως καὶ σέβεσθαι 46.13
πατέρα καὶ μητέρα ὡς μεγίστων ἀγαθῶν αἰτίους· αἴτιοι
δέ εἰσιν, ὡς ἔοικε, τοῦ φρονῆσαί τι καὶ ἰδεῖν. διὰ τὸ 46.15
αὐτὸ δὲ τοῦτο καὶ χαίρομεν τοῖς συνήθεσι καὶ πράγ–
μασι καὶ ἀνθρώποις, καὶ φίλους τούτους καλοῦμεν 46.17
τοὺς γνωρίμους. δηλοῖ οὖν ταῦτα σαφῶς ὅτι τὸ
γνωστὸν καὶ φανερὸν καὶ τὸ δῆλον ἀγαπητόν <τὸ> φανερὸν
ἐστιν· εἰ δὲ τὸ γνωστὸν καὶ τὸ σαφές, δῆλον ὅτι καὶ 46.20
τὸ γιγνώσκειν ἀναγκαῖον καὶ τὸ φρονεῖν ὁμοίως. ἀγαπητόν

**------------------------------------------------------------------------------------[46.8-21]**

**46.11** [φανερὸν] φανὸν Allan ➔ || **13** [αὐτούς] Gigon || **17** [τούτους] Gigon || **18** [σαφῶς] Gigon || **19-20** γνωστὸν [καὶ φανερὸν . . . γνωστὸν] F, repaired in margin $F^1$ || **19** καὶ <τὸ> φανερὸν Rose; καὶ φανὸν Allan ➔ || **19** [καὶ τὸ δῆλον] Rose || **20** [καὶ τὸ σαφές] Rose || **21** ἀναγκαῖον] ἀγαπητόν Allan ➔

πρὸς δὴ τούτοις, ὥσπερ ἐπὶ τῆς οὐσίας οὐχ ἡ 46.22
αὐτὴ κτῆσις ἕνεκα τοῦ ζῆν καὶ τοῦ ζῆν εὐδαιμόνως
τοῖς ἀνθρώποις, οὕτως καὶ περὶ φρονήσεως οὐ τῆς
αὐτῆς οἶμαι δεόμεθα πρός τε τὸ ζῆν μόνον καὶ πρὸς 46.25
τὸ ζῆν καλῶς. τοῖς μὲν οὖν πολλοῖς πολλὴ συγγνώμη
τοῦτο πράττειν (εὔχονται μὲν γὰρ εὐδαιμονεῖν, ἀγα– 46.27
πῶσι δὲ κἂν μόνον δύνωνται ζῆν), ὅστις δὲ οἴεται μὴ
πάντα τρόπον ὑπομένειν αὐτὸ δεῖν, καταγέλαστον ἤδη 47.1
τὸ μὴ πάντα πόνον ὑπομένειν καὶ πᾶσαν σπουδὴν
σπουδάζειν ὅπως κτήσηται ταύτην τὴν φρόνησιν ἥτις 47.3
γνώσεται τὴν ἀλήθειαν.

**------------------------------------------------------------------------------------[46.22-47.4]**

**46.22** δὴ] δὲ Düring || **24** περὶ] ἐπὶ Vitelli || **47.2** ὑπομένειν] πονεῖν Rose ➔

γνοίη δ᾽ ἄν τις τὸ αὐτὸ καὶ ἀπὸ τούτων, εἰ 47.5
θεωρήσειεν ὑπ᾽ αὐγὰς τὸν ἀνθρώπειον βίον. εὑρήσει
γὰρ τὰ δοκοῦντα εἶναι μεγάλα τοῖς ἀνθρώποις πάντα
ὄντα σκιαγραφίαν. ὅθεν καὶ λέγεται καλῶς τὸ μηδὲν 47.8
εἶναι τὸν ἄνθρωπον καὶ τὸ μηδὲν εἶναι βέβαιον τῶν
ἀνθρωπίνων. ἰσχύς τε γὰρ καὶ μέγεθος καὶ κάλλο 47.10
γέλως ἐστὶ καὶ οὐδενὸς ἄξια, κάλλος τε παρὰ τὸ μηδὲν
ὁρᾶν ἀκριβὲς δοκεῖ εἶναι τοιοῦτον. εἰ γάρ τις ἐδύνατο 47.12
βλέπειν ὀξὺ καθάπερ τὸν Λυγγέα φασίν, ὃς διὰ τῶν Λυγκέα
τοίχων ἑώρα καὶ τῶν δένδρων, πότ᾽ ἂν ἔδοξεν εἶναί 47.14

τινα τὴν ὄψιν ἀνεκτόν, ὁρῶν ἐξ οἵων συνέστηκε κακῶν;
τιμαὶ δὲ καὶ δόξαι τὰ ζηλούμενα μᾶλλον τῶν λοιπῶν 47.16
ἀδιηγήτου γέμει φλυαρίας· τῷ γὰρ καθορῶντι τῶν
ἀιδίων τι ἠλίθιον περὶ ταῦτα σπουδάζειν. τί δ' ἐστὶ 47.18
μακρὸν ἢ τί πολυχρόνιον τῶν ἀνθρωπίνων; ἀλλὰ διὰ
τὴν ἡμετέραν ἀσθένειαν, οἶμαι, καὶ βίου βραχύτητα καὶ 47.20
τοῦτο φαίνεται πολύ τι.

**------------------------------------------------------------------------------------[47.5-21]**

**47.5** [τὸ] L || **10** [καὶ κάλλος] Gigon || **11** καλλος τε] **11** καλλος γε Rose; μόνως γὰρ Düring ➔ || **13** Λυγγεα] Λυγκέα Arcerius ➔ || **14** ποτ'] πῶς Kiessling || **16** ζηλούμενα <ἔτι> μᾶλλον Gigon || **20** καὶ <τὴν τοῦ> βίου Düring

ἐὰν οὖν εἰς ταῦτα βλέπων **τίς ἄν**
οἴοιτο εὐδαίμων εἶναι καὶ μακάριος, οἵ πρῶτον εὐθὺς **οἷς**
φύσει συνέσταμεν, καθάπερ φασὶν οἱ τὰς τελετὰς 47.23
λέγοντες, ὥσπερ ἂν ἐπὶ τιμωρίᾳ πάντες; τοῦτο γὰρ
θείως οἱ ἀρχαιότεροι λέγουσι τὸ φάναι διδόναι τὴν 47.25
ψυχὴν τιμωρίαν καὶ ζῆν ἡμᾶς ἐπὶ κολάσει μεγάλων 48.1
τινῶν ἁμαρτημάτων. πάνυ γὰρ ἡ σύζευξις τοιούτῳ
τινὶ ἔοικε πρὸς τὸ σῶμα τῆς ψυχῆς. ὥσπερ γὰρ τοὺς 48.3
ἐν τῇ τυραννίᾳ φασὶ βασανίζειν πολλάκις τοὺς ἁλι– **Τυρρηνίᾳ**
σκομένους προσδεσμεύοντας κατ' ἀντικρὺ τοῖς ζῶσι 48.5
νεκροὺς ἀντιπροσώπους ἕκαστον πρὸς ἕκαστον μέρος
προσαρμόττοντας, οὕτως ἔοικεν ἡ ψυχὴ διατετάσθαι 48.7
καὶ προσκεκολλῆσθαι πᾶσι τοῖς αἰσθητικοῖς τοῦ σώ–
ματος μέλεσιν. 48.9

**------------------------------------------------------------------------------------[47.21-48.9]**

**47.21** πολυ τι. ἐὰν] πολυ. τίς ἂν Vulcanius; πολυ τι. τίς ἂν Kiessling ➔ || **22** οἵ FL; οἳ R; οἵ V; οἷς Arcerius; εἰ des Places ➔ || **25** [φάναι] Gigon || **25-26** τὴν ψυχὴν] τὰς ψυχὰς R || **48.4** τυραννίᾳ] Τυρρηνίᾳ Arcerius ➔ || **7** διατετάσθαι] διαδεδάσθαι Vitelli

οὐδὲν οὖν θεῖον ἢ μακάριον ὑπάρχει 48.9
τοῖς ἀνθρώποις, πλὴν ἐκεῖνό γε μόνον ἄξιον σπουδῆς,
ὅσον ἐστὶν ἐν ἡμῖν νοῦ καὶ φρονήσεως· τοῦτο γὰρ
μόνον ἔοικεν εἶναι τῶν ἡμετέρων ἀθάνατον καὶ μόνον 48.12
θεῖον. καὶ παρὰ τὸ τῆς τοιαύτης δυνάμεως δύνασθαι
κοινωνεῖν, καίπερ ὢν ὁ βίος ἄθλιος φύσει καὶ χαλεπός,
ὅμως οὕτως ᾠκονόμηται χαριέντως, ὥστε δοκεῖν πρὸς 48.15
τὰ ἄλλα θεὸν εἶναι τὸν ἄνθρωπον. 'ὁ νοῦς γὰρ ἡμῶν
ὁ θεός', εἴτε Ἑρμότιμος εἴτε Ἀναξαγόρας εἶπε τοῦτο,
καὶ ὅτι 'ὁ θνητὸς αἰὼν μέρος ἔχει θεοῦ τινος'. ἢ 48.18
φιλοσοφητέον οὖν ἢ χαίρειν εἰποῦσι τῷ ζῆν ἀπιτέον
ἐντεῦθεν, ὡς τὰ ἄλλα γε πάντα φλυαρία τις ἔοικεν
εἶναι πολλὴ καὶ λῆρος. οὕτως ἄν τις τὰς ἀπὸ τῶν // ἐννοιῶν**κοινῶν** //
ἐφόδους συγκεφαλαιώσαιτο δεόντως εἰς προτροπὴν τοῦ 48.23
δεῖν φιλοσοφεῖν θεωρητικῶς καὶ ζῆν ὅτι μάλιστα τὸν
κατ' ἐπιστήμην καὶ τὸν τοῦ νοῦ βίον. 48.25

**------------------------------------------------------------------------------------[48.9-25]**

**48.14** [ὁ] R || **16** ἄλλα] ἄλογα Vitelli || **22** <κοινῶν> ἐννοιῶν Kiessling ➔